ἐπόθει καὶ σὺν αὐτῷ εἶναι, ὃν ἔργοις καλοῖς ἐδόξασεν, ὃν εὐσεβῶς ἐθεολόγησεν, ὃν διὰ βίου παντὸς ἐθεράπευσε, πρὸς αὐτὸν χαίρων μετέβη, τρίτην πρὸς τῇ εἰκάδι τοῦ ἰουνίου μηνὸς ἄγοντος, καὶ μετὰ κοινῆς συνδρομῆς καὶ δορυφορίας καὶ πολυπληθοῦς τιμῆς παρ' αὐτῇ τῇ τῶν Μαγκάνων ἱερᾷ μονῇ τοῦ θείου μάρτυρος Γεωργίου σεπτῶς ἀποθησαυρίζεται τὸ τῆς ἡγιασμένης ψυχῆς ἱερὸν καὶ πολύτιμον σκεῦος καὶ τέμενος εἰς δόξαν Θεοῦ τοῦ ἐνδοξαζομένου καὶ θαυμαστουμένου ἐν τοῖς ἁγίοις αὐτοῦ, πολλὰ τότε πρότερον ἐπισκήψας καὶ πατρικῶς ἐντειλάμενος τοῖς παροῦσι περί τε τῆς ἐκκλησιαστικῆς διορθώσεως καὶ τῆς εὐσεβείας ἡμῶν καὶ περὶ τῆς φανερᾶς μὲν ἐκδικήσεως τῶν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων, τῆς δὲ καινοτομίας ἀνατροπῆς, καὶ τελευταίαν φωνὴν ἐπειπὼν ἱλαρῶς· « Κύριέ μου Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου », καὶ οὕτω πρὸς αὐτὸν μεταστάς. Ταῖς αὐτοῦ ἱκεσίαις, Χριστὲ ὁ Θεός, καὶ τῶν ἁγίων σου πάντων διδασκάλων καὶ θεολόγων πατέρων, ἐν τῇ ὀρθοδόξῳ ὁμολογίᾳ εἰς τοὺς αἰῶνας τὴν ἐκκλησίαν σου διαφύλαττε.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Οὐκ ἐσάλευσεν τὸν πύργον τὸν ἀκράδαντον
τῆς σῆς στερρότητος
τῶν πειρασμῶν ὁ βαρὺς
χειμὼν οὔτε πρότερον οὔτε νῦν ὕστερον·
ἐπὶ πέτραν γὰρ
στερρῶς τεθεμελίωται
εὐσεβῶν ἔργων καὶ λόγων.
Μολυνόμενον ὁρῶν τὸν ὀφειλόμενον
τηρεῖσθαι ἄθικτον
χιτῶνα τὸν καθαρὸν
Χριστοῦ, ὃν τοῖς αἵμασιν αὐτοῦ κεκόσμηκε
καὶ ἐπέθηκε
τῇ ἐκκλησίᾳ, ἔστενες
καὶ εὐψύχως ἠγωνίσω : +
Ἀκατάβλητον τὸ φρόνημα κτησάμενος
ἐν οἷς ὁ κίνδυνος
ὑπὲρ Θεοῦ καὶ σεπτῶν
δογμάτων τῆς πίστεως, ὡς λέων ἔτρεψας
καὶ κατέβαλες
βασιλικῷ βρυχήματι
καινοτόμων τὰς φατρίας : –

3. πρὸς τὴν A.
18. ἐσάλευσας A : ἐσάλευσαν B.
23. τεθεμελίωτο B.
24. λόγιον A.